Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: kog-aa

*Εὐφορίων ὁ Χαλκιδεύς* · Euphorion of Chalcis

# Fragments on Myth and Divinity

*Ἀποσπάσματα περὶ Μύθου καὶ Θειότητος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 2.1 [ln_1]Ἷκτο μὲν ἐς Δωδῶνα Διὸς

book 2.2 φηγοῖο

book 2.3 προφῆτιν, ἵκετο δ’ ἐς

book 2.4 Πυθῶνα καὶ ἐς γλαυκῶπα

book 2.5 Προνοίην.

book 3 [ln_1]Ζὰψ δὲ ποτὶ σπιλάδεσσι νεῶν ὀλέτειρα κακύνει.

book 4 Ποικιλόνους δὲ μέλαθρον ... ὀρχίλος ἔπτη Κυζίκου, ὃν δ’ ᾔεισε κακὸν γάμον ἐχθομένη κρέξ.

book 5 Καί τις Ἀπολλόδωρος ........ ἐφ’ υἱέα Λειοφόωντος

book 8 Ὅστις μευ κελέβην Ἀλυβηίδα μοῦνος ἀπηύρα

book 9.1 [...] ὄπισθε [...]α φέροιτο [ ...]θι κάππεσε λύχνου [ ]α κατὰ Γλαυκώπιον Ἕρση,[ln_5][οὕνεκ’ Ἀθ]ηναίης ἱερὴν ἀνελύσατο κίστην [δεσποίν]ης. Ἢ ὅσσον ὁδοιπόροι ἐρρήσσοντο, [Σκε]ίρων ἔνθα πόδεσσιν ἀεικέα μήδετο χύτλα [ο]ὐκ ἐπὶ δήν· Αἴθρης γὰρ ἀλοιηθεὶς ὑπὸ παιδὶ νωιτέρης χέλυος πύματος ἐλιπήνατο λαιμόν.[ln_10]Ἢ καί νιν

book 9.2 σφεδανοῖο

book 9.3 τανυσσαμένη ἀπὸ τόξου

book 9.4 Ταιναρίη λοχίῃσι γυναικῶν ἐμπελάτειρα Ἄρτεμις ὠδίνεσσιν ἑῷ ταλάωρι μετάσποι. Ὀκχοίη δ’ Ἀχέροντι βαρὺν λίθον Ἀσκαλάφοιο, τόν οἱ χωσαμένη γυίοις ἐπιήραρε Δηώ,

book 9.1 [ln_15]μαρτυρίην ὅτι μοῦνος ἐθήκατο

book 9.2 Φερσεφονείῃ.

book 10 [ln_1]Δαῖμον, ὃς Ἀμφιλύσοιο ῥόον ...

book 11.1 [ln_1]Ὥριον οἷά τε μῆλον, ὅ τ’ ἀργιλώδεσιν ὄχθαις

book 11.2 πορφύρεον ἐλαχείῃ ἐνιτρέφεται

book 11.3 Σιδόεντι.

book 12 [ln_1]Δαίμονος ἱλάοιο

book 13.1 Ἐν

book 13.2

πυρὶ Βάκχον δῖον ὑπὲρ
book 13.3 φιάλης ἐβάλοντο.
book 14.1 Ὕῃ ταυροκέρωτι Διωνύσῳ κοτέσασα Ῥειώνη 〈ἄμυδισ〉 βλαψίφρονα φάρμακα
book 14.2 χεῦεν, ὅσς’ ἐδάη
book 14.3 Πολύδαμνα, Κυτηϊὰς ἢ ὅσα Μήδη.
book 16 Ἄκτιος Αἰγεύς
book 17 Ἴχνος ἂν Ὠρυχίοισιν ἐν ἕρκεσιν ὀκλάσσαιντο.
book 21.1 [ln_1]Τῷ καὶ μέτρια μέν
book 21.2 τις ἐπὶ φθιμένῳ ἀκάχοιτο, μέτρια καὶ κλαύσειεν· ἐπεὶ καὶ πάμπαν ἄδακρυν Μοῖραι ἐσικχήναντο.
book 23.1 Τὸν μὲν ἄρ’ ἐκ
book 23.2 φλοίσβου Ἀσβώτιοι ὦκα φέροντες ὑστάτιον ῥύσαντο κονισαλέῃσιν ἐθείραις ἵπποι καλὰ νάουσαν ἐπορνύμενοι
book 23.3 Φυσάδειαν.
book 24 Ἀνέρος ἀρράτοι 〈ο〉 φόωσδ’ ἀνὰ Κέρβερον ἄξων
book 25.1 Τύμβος ὑπὸ κνημοῖσι
book 25.2 πολυσχεράδος Μυκόνοιο
book 30 Τοῖος γὰρ Κυχρεῖος ἐνὶ ψαφαρῇ Σαλαμῖνι
book 33.1 [ln_1]Αὐλίς τ’ Ὠρωπός
book 33.2 τε καὶ Ἀμφιάρεια λοετρά
book 34.1 Ἀκτῆς δὲ παροίτερα
book 34.2 φωνηθείσης· οἳ μὲν δὴ ἐνέπουσι καὶ Ἀσίδα κικλῄσκεσθαι, οἳ δὲ Ποσειδάωνος ἐπώνυμον αὐδηθῆναι.
book 35a,b.1 Οἷοι ἐπιθύουσι βοῶν λίες. [para]κάπροι
book 35a,b.2 τε λίες
book 35a,b.3 τε.
book 35c.1 Εὔμολπος Δόλιχός
book 35c.2 τε καὶ Ἱπποθόων μεγάθυμος
book 38.1 Ἠ καὶ Γαιζῆται
book 38.2 περὶ δείρεα
book 38.3 χρυσοφορεῦντες
book 40 Πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν Ῥοιτείῃς ἀμάθοισι δεδουπότος Αἰακίδαο εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.
book 41 Πλευρά τε καὶ θώρηκα διήρικεν ἰνίου ἄχρις.
book 42 Τό ῥά οἱ δάνος ὤπασεν Ἕκτωρ.
book 43 Κώκυτός 〈τοι〉 μοῦνος ἀφ’ ἕλκεα νίψεν Ἄδωνιν.
book 44.1 Τὸν δ’ ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο, καί οἱ πήχεες ἄκρον ὑπερφαίνοντο
book 44.2 ταθέντες ἀχρεῖ’ ἀσπαίροντος ἅλις Δολοπιονίδαο δυστήνου· ζωὴν δὲ μεθ’ ὕδατος ἔκβαλε πᾶσαν[ln_5]χεῖρας ὑπερπλάζων, ἅλμη δ’ ἔκλυσσεν ὀδόντας.

book 46.1 Καὶ Ψίλιν Ἀσκάνιόν
book 46.2 τε ...... Ναυαίθοιο
book 47.1 Δαίμων .... σαιτο
book 47.2 φιλοπλοκάμοισι Δυμαίναις
book 48.1 Ζηνὸς
book 48.2 Χαονίοιο
book 48.3 προμάντιες ηὐδάξαντο.
book 50.1 Τῆς μὲν τῶν, ὅσσα φύει εὐδείελος αἶα, ἢ φυτὸν ἢ ποίην, ὅτεῳ ἐχρίμψατο λύθρον, ὡς
book 50.2 πυρὶ καρφόμενα
book 50.3 ψαφαρῇ ἰνδάλλετο τέφρῃ.
book 51.1 Αιπ[... ξανθὸς δ[... καί οἱ δειμαίνοντ[ι ... ταρφέες ἀφλοισμῷ δι [..[ln_5]Οἱ δ' ὄπιθεν λασίῃ ὑπὸ γαστέρι
book 51.2 πεπ[τηῶτες] οὐραῖοι λιχμῶντο
book 51.3 περὶ πλευρῇσι δρά[κοντες,] ἐν καί οἱ βλεφάροις κυάνῳ ἠστράπτετον [ὄσσε. Ἦ που θερμάστραις ἤ που Μελιγουνίδι
book 51.4 τοῖαι μαρμαρυγαί, αἴρῃσιν ὅτε ῥήσσοιτο σίδηρος,[ln_10]ἠέρ' ἀναθρῴσκουσι (βοᾷ δ' εὐήλατος ἄκμων), ἢ Αἴτνην
book 51.5 ψολόεσσαν, ἐναύλιον Ἀστερόποιο. Ἵκετο μὴν Τίρυνθα
book 51.6 παλιγκότῳ Εὐρυσθῆι ζωὸς ὑπὲξ Ἀίδαο δυώδεκα λοῖσθος ἀέθλων· καί μιν ἐνὶ τριόδοισι
book 51.7 πολυκρίθοιο Μιδείης[ln_15]ταρβαλέαι σὺν
book 51.8 παισὶν ἐθηήσαντο γυναῖκες.
book 52 Χαλκείῃ ἀκάτῳ βουπληθέος ἐξ Ἐρυθείης
book 53.1 Αἳ καὶ ἀναμπέχονοι γυμνοῖς
book 53.2 ποσὶν ἠύτε δοῦλαι ἠοῖαι
book 53.3 σαίρεσκον Ἀθηναίης
book 53.4 περὶ βωμὸν νόσφι κρηδέμνοιο, καὶ εἰ βαρὺ γῆρας ἱκάνοι.
book 54.1 Ἦ γὰρ δὴ Φοῖβός
book 54.2 τε
book 54.3 Ποσειδάων τ' ἐκάλεσσαν Αἰακὸν οὐκ ἀβοηθὶ περὶ κρήδεμνα δέμοντες.
book 57.1 Ἐς
book 57.2 Φθίην
book 57.3 χιλοῖο κατήϊε πάμπαν ἄπαστος· τούνεκα Μυρμιδόνες μιν Ἀχιλέα
book 57.4 φημίξαντο.
book 58.1 Ἡ οἱ Μούνιτον υἷα τέκε
book 58.2 πλομένῳ ἐνὶ ὥρῳ ἀλλά ἑ Σιθονίῃ τε καὶ ἐν κνημοῖσιν Ὀλύνθου ἀγρώσσονθ' ἅμα
book 58.3 πατρὶ πελώριος ἔκτανεν ὕδρος
book 59 Οἳ πλόον ἠρνήσαντο καὶ ὅρκους Αἰγιαλήων.
book 60 Αὖλίν τέ σφ' ἄγαγον
book 61 Πεσσά 〈τε〉 Ναυπλιάδαο

book 63.1 Πολλάκι οὐ κλισίῃσι

book 63.2 Πυληγενέεσσί τε νηυσὶν ἐννύχιοι πίλναντο νόσων ἅπερ ἰητῆρος.

book 64.1 Ὅς ῥά τε πᾶσιν ἔικτο θαλάσσιος ἠύτε

book 64.2 Πρωτεύς.

book 65 Οὐ γὰρ Ἀλήσιοί ἐστε.

book 66.1 Οἳ δ’ οὔπω

book 66.2 Σιμόεντος Ἀχαιίδας ἄρσαμεν ἵππους.

book 73 Δίρφυν ἀνὰ τρηχεῖαν ὑπ’ Εὐβοίῃ κεκόνιστο.

book 74.1 Μυσοῖο

book 74.2 παρ’ ὕδασιν Ἀσκανίοιο

book 75.1 Χθιζόν μοι κνώσσοντι

book 75.2 παρ’ Ἀργανθώνιον αἶπος

book 77 Ἀποπρὸ δὲ Βέβρυκα πύκτην

book 78 Δωροφόροι καλεοίαθ’ ὑποφρίσσοντες ἄνακτας

book 79.1 Ἠοῖ δ’ Εὐάρχοιο

book 79.2 φερεκλεὲς ἀμφὶ ῥέεθρον

book 80.1 Ὁπλοτέρου τ’ Ἀχιλῆος ἀκούομεν Εὐρυλόχοιο, Δελφίδες ᾧ ὕπο καλὸν Ἰήϊον ἀντεβόησαν 〈Κρῖσαν〉 πορθήσαντι, Λυκωρέος οἰκία

book 80.2 Φοίβου.

book 81.1 Θιβρήν

book 81.2 τε

book 81.3 Σεμίραμιν

book 82 Κακώτερε Καλλικόωντος

book 83.1 Ἠδ’ ὅσσα

book 83.2 προτέροισιν ἀείδεται Εὐρυβάτοισιν.

book 84.1 Κλαίοντες δέ τε κοῦρον ἐπ’ ἀγχιάλοις

book 84.2 πιτύεσσι κάτθεσαν, ὁκκόθε δὴ στεφάνωμ’ ἄθλοις

book 84.3 φορέοντο· οὐ γάρ

book 84.4 πω τρηχεῖα λαβὴ καταμήσατο

book 84.5 χειρῶν Μήνης

book 84.6 παῖδα χάρωνα

book 84.7 παρ’ Ἀσωποῦ γενετείρῃ,[ln_5]ἐξότε

book 84.8 πυκνὰ σέλινα κατὰ κροτάφων ἐβάλοντο.

book 85.1 Ἄστεα Δυρραχίης

book 85.2 τε καὶ ἔθνεα

book 85.3 Ταυλαντίνων

book 86.1 Ὀθνεῖον

book 86.2 Περσεῖ τελέων γάμον Εὐρυμέδοντι

book 87.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀρχομενὸν

book 87.2 Χαρίτεσσιν ἀφαρέσιν ὀρχηθέντα

book 88.1 Πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο

book 88.2 πρόσωπα.

book 89 Ὑετόμαντις ὅτε κρώξειε κορώνη.

book 90 Οὕνεκα δή μιν ἶφι βιησαμένῳ Ἑλένη ὑπεγείνατο Θησεῖ.

book 91 Ἀγχίαλον Βραυρῶνα, κενήριον Ἰφιγενείης

book 92.1 Τέκνον, μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς, ἠελίους ἥτις

book 92.2 σε τριηκοσίους ἐφόρησα, τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην ἐς φάος ἐρχομένου, λαρὸν δ' ἐπὶ χείλεσι

book 92.3 πρώτη[ln_5]μαστὸν ἐπισχομένη λευκῷ ς' ἔψισα γάλακτι.

book 93 Φοιταλέος διὰ πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ.

book 94.1 Προπρὸ δέ μιν δασπλῆτες ὀφειλομένην 〈ἄγον〉 οἶμον 〈γήλοφον εἰσ〉 ἀργῆτα θυγατριδέαι Φόρκυνος Εὐμενίδες ναρκίσσου ἐπιστεφέες

book 94.2 πλοκαμῖδας.

book 95a,b.1 Οὗτος μὲν Ζωστὴρ

book 95a,b.2 Φοίβου πέδον

book 96.1 Ὄφρα κε μαντεύοιτο μεθ' υἱάσι Βοιωτοῖο, τόν ῥα

book 96.2 Ποσειδάωνι δαμασσαμένῳ τέκεν Ἄρνη, Βοιωτὸν δ' ὀνόμηνε· τὸ γὰρ καλέσαντο νομῆες, ὅττι ῥα

book 96.3 πατρῴησι βοῶν ἀπεθήκατο κόπροις.

book 98.1 Πύραμον ἠχήεντα, πόλιν δ' ἐκτίσσατο Μαλλόν, ἧς πέρι δῆριν ἔθεντο κακοφράδες ἀλλήλοισι Μόψος τ' Ἀμφίλοχός

book 98.2 τε, καὶ ἄκριτα δηρινθέντες μουνὰξ ἀλλίστοιο πύλας ἔβαν Ἀϊδονῆος.

book 103 Οὗπις ἀμαλλοφόρος

book 104.1 Οὐδὲ νεογνοὶ παῖδες ἐδιζήσαντο

book 104.2 πελώριον Ὠρίωνα.

book 107.1 Ἀλλ' οὔπω Θήβῃ πεπρωμένα κεῖτο τάλαντα, τήν ῥά ποτε Κρονίδης δῶρον πόρε

book 107.2 Περσεφονείῃ, ὃν γαμέτην ὅτε

book 107.3 πρῶτον ὀπωπήσεσθαι ἔμελλε νυμφιδίου

book 107.4 σπείροιο

book 107.5 παρακλίνασα καλύπτρην.

book 108 Κεβληγόνου Ἀτρυτώνης

book 110 Καί οἱ γείνατο κοῦρον, ὃς οὐκ ἴδεν ἠλέκτωρα.

book 111.1 Στεψαμένη θαλεροῖσι

book 111.2 συνήντετο δικτάμνοισι.

book 112.1 Ὅσσους εὐρυκόωσα

book 112.2 Τυφάονι κύσατο Κητώ.

book 113 Ἀελλόποδός θ' ἁρπυίας

book 114.1 Βουκολέων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 114.2 Τρηχινίδα

book 114.3 Τυμφρηστοῖο αἰπῆς

book 118 Μοῦσαι ἐποιήσαντο καὶ ἀπροτίμαστος Ὅμηρος

book 119 Ὕδατα δινήεντος ἀμευσάμενος Ἀθύραο

book 120 Δεξιτερὴν ὑπερέσχε καὶ ὀχθηρῆς Γερανείης.

book 121 Ἥτις ἔχεις κληῖδας ἐπιζεφύροιο Δυμαίης

book 122.1 Ὠκεανός, τῷ πᾶσα

book 122.2 περίρρυτος ἐνδέδεται

book 122.3 χθών

book 123 Πάντῃ δὲ σέθεν κλέος ἀστέμβακτον

book 124.1 Ἀτάρμυκτον

book 124.2 πρέπεν ὄμμα.

book 125 Ἀτρέα δῆμον Ἀθηνῶν

book 127 Πολύτροφα δάκρυα Βύνης

book 128 Ἄστυ κατ’ εὐβύριον

book 129 Οὐδέ τοι εὔωροι θυέων

book 130 Τῆς οὐδ’ αἴθυιαι οὐδὲ κρυεροὶ καύηκες

book 131.1 Ἠὲ πόθεν

book 131.2 ποταμῶν κελέβῃ ἀποήφυσας ὕδωρ;

book 132.1 〈Κυνηλατέοντοσ〉 αὐτῷ σὺν

book 132.2 τελαμῶνι νεοσμήκτῳ τε μαχαίρῃ

book 133 Πτῶκες ἀειχλώροισιν ἰαύεσκον μολοθούροις.

book 134 Ἠπεδαναὶ πέμφιγες ἐπιτρύζουσι θανόντα.

book 135.1 Ζεφύρου μέγα

book 135.2 ποιφύξαντος

book 136 Ἐν δὲ πόποις θέσσαντο.

book 137 Ἀλεξίκακον φύε ῥάμνον.

book 138 Οἷόν θ’ εἰαμενῆς ὑποκυδέος

book 139.1 Λιγνύν

book 139.2 τε ψολόεσσαν ἀιδνήεντά τε καπνόν.

book 140 Πρώτας ὁππότ’ ἔπεξε καλὰς Εὔδοξος ἐθείρας, [para]Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην. Ἀντὶ δέ οἱ πλοκαμῖδος, Ἑκηβόλε, καλὸς ἐπείη ὡχαρνῆθεν ἀεὶ κισσὸς ἀεξομένῳ.

book 141.1 Οὐχ ὁ τρηχὺς Ἐλαιὸς ἐπ’ ὀστέα κεῖνα καλύπτει [para]οὐδ’ ἡ Κυανέη γράμμα λαχοῦσα Πέτρη· ἀλλὰ τὰ μὲν Δολίχης

book 141.2 τε καὶ αἰπείνης Δρακάνοιο [para]Ἰκάριον ῥήσσει κῦμα

book 141.3 περὶ κροκάλαις·[ln_5]ἀντὶ δ’ ἐγὼ ξενίης

book 141.4 πολυκηδέος ἡ κεινὴ χθὼν [para]ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.

book 145 Ἀμπέλινος

book 149 Βότρυα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 150 Γλαυκῶπις

book 151 Ἐλλιπέες

book 152 Ἐνοσίχθων

book 153a,b Ἦλ, ἦλι

book 154 Κηπουρός

book 158 Ναυαγός

book 159 Πεφορινῶσθαι

book 160 Φλεγεθοίατο

book 161 Χαμαιεῦναι

book 162 Αἰγιδόκος

book 175.1 Καλαὶ μέν

book 175.2 ποτ’ ἔσαν, καλαί, φόβαι Εὐτελίδαο· ἀλλ’ αὐτὸν βάσκαινεν ἰδὼν ὀλοφώιος ἀνὴρ δινῆντ’ ἐν

book 175.3 ποταμῷ· τὸν δ’ αὐτίκα νοῦσος ἀεικής ...

book 176 Τῷ μιν καὶ Περσῆα μετεκλήϊσσαν Ἀχαιοὶ οὕνεκεν ἄστεα πέρσεν ἀπειρεσίων ἀνθρώπων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org